www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΙΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΣΕΒΑΣΤΕΙΑΣ ΤΗΣ ΕΝ ΠΑΛΑΙΣΤΙΝΗ

**(οὗ ἡ μνήμη τῇ 13ῃ Μαρτίου)**

**Ἐποιήθη**
**ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**
*** ͵βιη' * 2018 ***

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΙΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΣΕΒΑΣΤΕΙΑΣ, ΤΗΣ ΕΝ ΠΑΛΑΙΣΤΙΝΗ.

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Εἶτα τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

Ἦχος δ'. Ὁ ὑψωθείς.

Τοῦ θείου Πνεύματος δεχθεὶς τὰς ἐλλάμψεις,
τύπος ἐφάνης Ὀρθοδόξου ποιμένος,
τῆς Σεβαστείας Μάριε χριστόνους πατήρ,
ὅθεν πλήρης χάριτος,
τὸν Δεσπότην δυσώπει,
χαρίσασθαι τὴν ἄφεσιν,
τῶν ποικίλων πταισμάτων,
καὶ Βασιλείας δεῖξαι κοινωνούς,
τοὺς ὅσοι πόθῳ,
τὴν μνήμην τελοῦμέν σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους.
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν' ψαλμός·*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*«Σεπτὴν Τριάδα, Μάριε, ὑπὲρ ἡμῶν δυσώπει. Ἀ(θανάσιος)».*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Σωτῆρος ὑπάρξας ἀρχιερεύς, γενναίως διπλόην, ἀνεκήρυξας τῶν Αὐτοῦ, φύσεων ὦ Μάριε θεόφρον, κατατροπώσας Ἀρείου τὴν αἵρεσιν.

Ἐν πάσῃ καρδίᾳ τῷ Ἰησοῦ, ἑπόμενος πάτερ, ἀνεδείχθης λαμπρὸς ποιμήν, Θεάνθρωπον Μάριε κηρύξας, Ὃν ὑπὲρ πάντων ἡμῶν ἐκδυσώπησον.

Πορείαν βαδίσας εὐθυτενῆ, τῆς πλάνης διώκτης, ἀνεφάνης πάτερ σοφέ, ἧς φύλαττε πάντας τοὺς τιμῶντας, τὴν πανσεβάσμιον μνήμην σου Μάριε.

Θεοτοκίον

Τὸν Λόγον γεννήσασα τοῦ Πατρός, πλουτεῖς παῤῥησίαν, ἱκετεύουσα ἐκτενῶς, διὸ σὺν Μαρίῳ Θεοτόκε, πρέσβις γενοῦ τῶν πιστῶς δοξαζόντων σε.

## Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἡ πηγὴ Σαμαρείας, τῷ δροσερῷ ὕδατι, δῖψαν καταπαύει σωμάτων, μόνον ὡς πέφυκε, σὺ πάτερ Μάριε, ψυχαῖς παρέχεις τὴν δρόσον, Ὕδωρ τὸ ἁλλόμενον, Χριστὸν τὸν Κύριον.

Ναὸς ὤφθης Κυρίου, χριστολαμπὴς Μάριε, ὅθεν πλήρης ὢν τῶν χαρίτων, πλήρωσον τάχιστα, πιστῶν αἰτήματα, τῶν σοῦ τὴν μνήμην τιμώντων, καὶ προβαλλομένων σε, πρέσβυν πρὸς Κύριον.

Τῆς Χριστοῦ ἀληθείας, τὰ ζωηρὰ δόγματα, Μάριε κηρύξας τῆς πλάνης, πλήθη διέσωσας, διὸ διάσωσον, καὶ νῦν τοὺς ὅσοι πλανῶνται, καὶ ὁδὸν βαδίζουσι, πλάνης ψυχόλεθρον.

### Θεοτοκίον

Ῥῦσαι πάσης ἀνάγκης, τοὺς εὐσεβῶς Δέσποινα, σὲ τῆς τοῦ Κυρίου Μητέρα, ὑμνολογοῦντάς σε, καὶ πάθη σώματος, καὶ τῆς ψυχῆς τὰ ποικίλα, τάχιστα θεράπευσον, τῇ μεσιτείᾳ σου.

Διάσωσον, ἀπὸ αἱρέσεων Μάριε τοὺς ἐκτελοῦντας, τὴν ἱερὰν καὶ πάνσεπτον μνήμην σου, καὶ σύναψον ἀεὶ Χριστῷ, τῇ ἐνυποστάτῳ Ἀληθείᾳ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

## Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Εἰκὼν ἀκριβής, Μεγάλου Ἀρχιποίμενος, δογμάτων σεπτῶν, ἀμύντωρ ἀκλινέστατος, Ὀρθοδόξων καύχημα, Σεβαστείας σοφὸς διδάσκαλος, καὶ πλήρης θείων ἀρετῶν, ὑπῆρξας ὄντως πάτερ Μάριε.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ἱερώτατε Μάριε, ὡς ποιμὴν φιλότεκνος νῦν ἐπάκουσον, δεομένων τὰς πρεσβείας σου, πρὸς Χριστὸν Δεσπότην τὸν Θεάνθρωπον.

Ἀσθενείας τοῦ σώματος, καὶ ψυχῆς ἰάτρευσον πάτερ Μάριε, ἐκμιμούμενος τὸν Κύριον, τῶν ἀνθρώπων πάθη ἰατρεύοντα.

Δωρεὰς αἷς κεκόσμησαι, Μάριε θεόφρον ἡμῖν διάνεμε, ὅπως χαίροντες δοξάζωμεν, τὴν πηγὴν ἁπάσης ἀγαθότητος.

Θεοτοκίον

Ἀειπάρθενε Δέσποινα, τοὺς ἐν παρθενίᾳ ψυχῆς καὶ σώματος, ἐκ παγίδων διαφύλαττε, ἃς παρασκευάζει ὁ μισόαγνος.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Μάριε κλεινέ, ἀληθείας θείοις δόγμασι, καταξίωσον πορεύεσθαι ἡμᾶς, καὶ ἐν τούτοις, ἀσαλεύτους μένειν πάντοτε.

Ἄρειον δεινόν, ἐν Συνόδῳ κατεδίκασας, σὺν τοῖς λοιποῖς Πατράσι πάτερ Μάριε, λιπὼν σοῖς τέκνοις, Ὀρθοδόξων θησαυρίσματα.

Ῥῦσαι τῶν δεινῶν, τοὺς αἰτοῦντας πάτερ Μάριε, ταῖς πρὸς Δεσπότην ἱκεσίαις σου, ἀποδιώκων, πειρασμοὺς τοῦ πολεμήτορος.

Θεοτοκίον

Ἵλεων ἡμῖν, τὸν Δεσπότην δεῖξον Πάναγνε, Ὃν καθ' ἑκάστην παροργίζομεν, Αὐτοῦ τὸν νόμον, ἑκουσίως παραβαίνοντες.

Ὠιδὴ ϛ'. Τὴν δέησιν.

Ἐπάκουσον, τῶν πτωχῶν τεκνίων σου, πάτερ Μάριε πιστῶς σοι βοώντων· τοῦ πονηροῦ, τὰς πικρὰς ἐπιθέσεις, τὰς καθ' ἡμῶν κινουμένας ἀφάνισον, παρέχων ἅπασι Χριστοῦ, τὴν εἰρήνην ὡς δῶρον εὐπρόσδεκτον.

Ὑγείωσον, τοὺς κειμένους Μάριε, ἐπὶ χρόνον ἀσθενείας τῇ κλίνῃ, μακρὰν αὐτῶν, ἐκδιώκων τὰς νόσους, καὶ ἀνορθῶν ταῖς εὐχαῖς σου ὡς πρότερον, ἵνα τιμῶσιν εὐλαβῶς, τὴν σὴν μνήμην ἐν ὕμνοις εὐγνώμοσι.

Πρὸς Κύριον, ἐκτενῶς τὰς χεῖράς σου, πάτερ Μάριε μὴ παύσῃ ἐπαίρειν, καὶ τὰς ἡμῶν, ἱκεσίας ἐκπλήρου, πᾶσι παρέχων ψυχῇ τὰ συμφέροντα, ὅπως δοξάζωμεν ἀεί, Ἰησοῦν ἰατρὸν τὸν φιλάνθρωπον.

Θεοτοκίον

Εὐγνώμονας, τὰς φωνὰς ἀφίεμεν, πρὸς σὲ Μῆτερ τοῦ παντὸς Εὐεργέτου, Οὗ τὴν πληθύν, δωρεῶν τῶν ἀπείρων, ἀδυνατοῦμεν ποσῶς ἀριθμήσασθαι, ἃς ἅπασι διηνεκῶς, διανέμει πατὴρ ὡς φιλόδωρος.

Διάσωσον, ἀπὸ αἱρέσεων Μάριε τοὺς ἐκτελοῦντας, τὴν ἱερὰν καὶ πάνσεπτον μνήμην σου, καὶ σύναψον ἀεὶ Χριστῷ, τῇ ἐνυποστάτῳ Ἀληθείᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον.
Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Σεβαστείας ποιμενάρχα θεόσοφε, καὶ δογμάτων Ὀρθοδόξων ὑπέρμαχε, τῆς Ἐκκλησίας καύχημα πιστῶν, καὶ νῦν, ὥσπερ καὶ ἀεί, τῶν σὲ αἰτούντων τὰς εὐχάς, φιλοστόργως ἐκπλήρωσον· χάρισαι τὴν ὑγιείαν, πᾶσι τοῖς ἀσθενοῦσι, καὶ Βασιλείας ποθητῆς, οὐρανῶν τὰς πύλας ἄνοιξον.

Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
Στίχος. *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.*

ΕΥΑΓΓΕΛΙΟΝ
Ἐκ τοῦ κατὰ Ἰωάννην.
(ι΄ 7-16).

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ, ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτά, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς

φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Μάριε χριστόψυχε,
ποιμὴν σοφὲ Σεβαστείας,
τῷ ἁγίῳ οἴκῳ σου,
πόθῳ καταφεύγοντες ἐξαιτούμεθα,
τῆς ψυχῆς καὶ σώματος,
ἴασιν ταχεῖαν,
προβλημάτων τὴν συμφέρουσαν,
λύσιν καὶ ἄφθονον,

χάριν φωτισμὸν καὶ βοήθειαν,
τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν,
πρὸς τὴν τοῦ Θεοῦ εὐαρέστησιν·
ὅπως πορευθέντες,
συμφώνως τῷ θελήματι Αὐτοῦ,
κληρονομήσωμεν ἅπαντες,
πόλιν τὴν οὐράνιον.

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥῦσαι Μάριε θεῖε, τῆς ἐπάρσεως ἥτις μήτηρ αἱρέσεων, γεννήτρια ὑπάρχει, καὶ Ἄρειον τὸν ἄνουν, εἰς βυθὸν πλάνης ἤγαγεν, ὃν σὺν Πατράσι λοιποῖς, ἠλέγξατε γενναίως.

Ἣν ἐτήρησας Πάτερ, ἐν τοῖς δόγμασι πίστεως τὴν ἀκρίβειαν, παράσχου ἡμῖν πᾶσι, τοῖς ἐν Ὀρθοδοξίᾳ, προτιμᾷν πολιτεύεσθαι, καὶ ὑπὲρ ἧς τὴν πληθύν, ὑπέστης τῶν ἀγώνων.

Μύρον Μάριε χέε, οὐρανόθεν Χριστὸν ταῖς ψυχαῖς ἡμῶν, Ὃς μύρῳ τῆς ἀγάπης, ἐπλήρωσε ψυχήν σου, καὶ ὡς οἴνῳ ἐμέθυσεν, ὅπως ἐν πόλει Σιών, τῆς ἄνω εὑρεθῶμεν.

Θεοτοκίον

Ὡς ἀνώρυκτον φρέαρ, τῆς ζωῆς ἐκπηγάζουσα Ὕδωρ Πάναγνε, Μαρίου Σεβαστείας, ἐπλήρωσας τὴν δῖψαν, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, πότισον τοῦτο δαψιλῶς, ἀγάπῃ μητρικῇ σου.

Ὠιδὴ η'. Τὸν Βασιλέα.

Νοῦν ταπεινώσει, καὶ σωφροσύνῃ ὁσίᾳ, πάτερ Μάριε πλήρωσον τῶν ὅσοι, ὕμνοις σε τιμῶμεν, ὡς οἶκον σωφροσύνης.

Δεόμεθά σου, ὀρθῶς ἡμᾶς βηματίζειν, πάτερ Μάριε δίδου ἐν τῇ πίστει, ὑπὲρ ἧς γενναίως, ὡς λέων ἠγωνίσθης.

Ὑμνολογοῦντες, σοῦ τὴν σεμνὴν πολιτείαν, πάτερ Μάριε σὲ παρακαλοῦμεν, τὴν εὐχῆς ἀγάπην, ἀδιαλείπτου δίδου.

Θεοτοκίον

Σῷζε τοὺς ὅσοι, σὲ ἀληθῶς Θεοτόκον, προσκυνοῦσί σε πάναγνε Μαρία, ὥσπερ τῶν Πατέρων, σεπτὸς χορὸς διδάσκει.

Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὡς ὢν ἐν Παραδείσῳ, σὺν Ἁγίοις πᾶσι, τὸν Ἰησοῦν καθικέτευε Μάριε, ὅπως ἡμᾶς ἀξιώσῃ, τούτου ὡς εὔσπλαγχνος.
Πατρῷάν σου ἀγάπην, Μάριε μὴ λίπῃς, ἀποδεικνύειν ἡμῖν τοῖς αἰτοῦσί σου, ἐν τοῖς καιροῖς σκαιωρίας, καὶ πάσης θλίψεως.

Εἰρήνην ἀκλονήτως, τοῦ Χριστοῦ παράσχου, ψυχαῖς ἡμῶν θεαγάπητε Μάριε, καὶ τῶν παθῶν τῶν ἀνόμων, τελείαν κάθαρσιν.
Ἱκέται τῶν εὐχῶν σου, Μάριε θεόφρον, τῷ σῷ πανσέπτῳ ναῷ προσερχόμεθα, ὅπως ἐλέους τὴν χάριν, Κυρίου λάβωμεν.

Θεοτοκίον

Ἁγνὴ Παρθένε Μῆτερ, τοὺς ἐν τῇ ἁγνείᾳ, πορευομένους εὐχαῖς σου ἐνίσχυε, ὅπως ἁγνῷ Διδασκάλῳ, Χριστῷ συντύχωμεν.

*εἶτα τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

καὶ τὰ Μεγαλυνάρια

Χαίροις Σεβαστείας σοφὸς ποιμήν,
καὶ Συνόδου πρώτης,
ὁ κλεινὸς ὑπερασπιστής,
χαίροις Σαμαρείας,
φωστὴρ δεδοξασμένε,
Μάριε θεοφόρε,
καὶ χριστοτίμητε.

Τοὺς προσερχομένους τῷ σῷ ναῷ,
φύλαττε ἐκ πάσης,
τῶν δαιμόνων ἐπιβουλῆς,
πληρῶν τὰς αἰτήσεις,
Μάριε θεοφόρε,
καὶ ἀσθενείας λύων,
ψυχῆς καὶ σώματος.

Σκέπε ταῖς ἁγίαις σου προσευχαῖς,
τοὺς τιμῶντας πόθῳ,
Ἱεράρχα μνήμην τὴν σήν,
καὶ τῷ ἐκ Παρθένου,

Μαρίας γεννηθέντι,
σύναψον ταῖς εὐχαῖς σου,
ἅγιε Μάριε.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς·
ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·
πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία,
τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.

Μάριε Χριστοῦ ἀρχιερεῦ,
ὡς λαβὼν πλουσίως τὴν χάριν,
Ἁγίου Πνεύματος,
τὰς αἰτήσεις πρόσδεξαι,
τῶν προστρεχόντων πιστῶν,
τῷ ἁγίῳ τεμένει σου,
καὶ πᾶσι παράσχου,
ταῖς ψυχαῖς συμφέροντα,
καθικετεύων Χριστόν,
Ὅν περ ὡς Θεάνθρωπον πόνοις,
καὶ πολλοῖς κινδύνοις γενναίως,
Ἐκκλησίᾳ πάσῃ διεκήρυξας.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,
εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τῆ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων,
καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

Στίχοι

*Ὅν περ ὡς Θεάνθρωπον τρανῶς κηρύξας,*
*Ἱκέτευε, Μάριε, ὑπὲρ σῶν τέκνων.*